www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΝΕΟΥ
## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΚΑΙ ΙΑΜΑΤΙΚΟΥ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει
ὑπό
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου (†)
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

Ἔκδοσις
Ἱερᾶς Μονῆς Ἁγίου Θεοδοσίου Ἀργολίδος
1998

# ΑΚΟΛΟΥΘΙΑ

Τοῦ Ὁσίου καί θεοφόρου Πατρός ἡμῶν

# ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΝΕΟΥ

τοῦ θαυματουργοῦ καί ἰαματικοῦ

Ψαλλομένη τῇ 7ῃ Αὐγούστου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό· Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ´ καί ψάλλομεν τά ἑξῆς Προσόμοια:

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε Ναυπλιέων οἱ χοροί, μετά τῶν Ἀργείων συμφώνως, καί ἡ περίοικος, πᾶσα ἑορτάζοντες, μνήμην τήν ἔνθεον, τοῦ ἀσκήσει ἐκλάμψαντος, ἐν τῇ Ἀργολίδι, καί ποικίλοις θαύμασι, Πνεύματος χάριτι, χαίροις πρός αὐτόν ἐκβοῶντες, Πάτερ Θεοδόσιε Θεῖε, ἀρετῶν ὁσίων σκεῦος πάγχρυσον.

www.tezaurliturgic.ro



Πόλις Ἀθηναίων ἡ λαμπρά, ἄνθος σε προβάλλεται θεῖον, καί εὐωδέστατον, Πάτερ Θεοδόσιε, ὀσμήν τήν κρείττονα, διαπνέον τοῖς πέρασι, καί ἡ Ἀργολίς δέ, πλοῦτον ἀναφαίρετον, ἔσχε σε Ὅσιε· ταύτην γάρ ἱδρῶσιν ὁσίοις, καί θαυμάτων πλήθει λαμπρύνεις, ὡς Χριστοῦ θεράπων ἐνθεώτατος.

Ὅλως τῷ φωτί καταλαμφθείς, τοῦ ἐν τῷ Θαβώρ ἀπορρήτως, ἡμῖν ἀστράψαντος, βίον ὑπερκόσμιον, ἐν κόσμῳ ἔζησας, τοῦ Προδρόμου τοῖς ἴχνεσιν, ἑπόμενος Πάτερ, ᾧ καί ναόν ἤγειρας, χρηματισθείς μυστικῶς· ὅθεν Μοναστῶν ὤφθης τύπος, καί τοῖς ἐν κινδύνοις τελοῦσι, μέγας ἀντιλήπτωρ Θεοδόσιε.

Σκέπε τήν ἁγίαν σου Μονήν, τήν τῇ κραταιᾷ σου πρεσβείᾳ, ἀνακειμένην στερρῶς, Πάτερ Θεοδόσιε, ὡς συμπαθέστατος, καί χορήγει ἑκάστοτε αὐτῇ οὐρανόθεν, τῆς σῆς ἀντιλήψεως, τάς δόσεις Ἅγιε, πάντας δέ τούς πίστει τελοῦντας, τήν σήν πανοίδιμον, μνήμην, φρούρει καί διάσωζε σῇ χάριτι.

Δόξα. Ἦχος πλ. δ΄.

Ἐκ νεότητος Χριστῷ, ἀνατεθείς Θεοδόσιε, ἐπαξίαν τῇ κλήσει, πολιτείαν εἰσήνεγκας· ὡς γάρ δόσιν καθαράν, αὐτῷ προσενήνοχας, τά τῆς ἀσκήσεως σκάμματα· καί θαυμάτων ἐνεργείᾳ δοξασθείς, δωρεάν παρέχεις, τοῖς αἰτοῦσι τά ἰάματα, ἐκτενῶς πρεσβεύων, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καί νῦν. Ἦχος ὁ αὐτός. Τῆς Ἑορτῆς.

Τόν γνόφον τόν νομικόν, ἡ φωτεινή τῆς Μεταμορφώσεως, διεδέξατο νεφέλη· ἐν ᾗ Μωϋσῆς καί Ἠλίας γενόμενοι, καί τῆς ὑπερφώτου δόξης ἀξιωθέντες, Θεῷ ἔλεγον· Σύ εἶ Θεός ἡμῶν, ὁ Βασιλεύς τῶν αἰώνων.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἔρωτι Θεϊκῷ, ἐπτερωμένος Πάτερ, ἠρνήσω τά ἐν κόσμῳ, ἀγγελικῶς βιώσας, παμμάκαρ Θεοδόσιε.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Χαίρει ἡ Ἀργολίς, δεχθεῖσα σου τούς πόνους, καί μέγαν πρός τόν Κτίστην, προβάλλεταί σε πρέσβυν, παμμάκαρ Θεοδόσιε.

Στίχ. *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.*

Δίδου τῇ σῇ Μονῇ, τάς ἀγαθάς σου δόσεις, ὥς ταύτης ἀντιλήπτωρ, ἐν πατρικῇ ἀγάπῃ, παμμάκαρ Θεοδόσιε.

Δόξα. Τριαδικόν.

Δόξαν τήν Θεϊκήν, Τριάδος τῆς Ἁγίας, δοξάσας τῷ σῷ βίῳ, λαμπρῶς ἀντεδοξάσθης, παμμάκαρ Θεοδόσιε.

Καί νῦν. Θεοτοκίον.

Ἔλαμψεν ἐξ ἁγνῶν, λαγόνων σου Παρθένε, ἐν ὕλῃ ἀσυγχύτως, ὁ ἐν Θαβώρ ἀστράψας, Χριστός ὑπέρ τόν ἥλιον.

Νῦν ἀπολύεις. Τό Τρισάγιον. Ὅτι σοῦ ἐστιν. Τά Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, τό Μακάριος Ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄, καί ψάλλομεν τῆς Ἑορτῆς δύο, καί τοῦ Ὁσίου δ΄.

Τῆς Ἑορτῆς. Ἦχος δ΄.

Πρό τοῦ Σταυροῦ σου Κύριε, ὄρος οὐρανόν ἐμιμεῖτο, νεφέλη ὡς σκηνή ἐφηπλοῦτο. Σοῦ μεταμορφουμένου, ὑπό Πατρός δέ μαρτυρουμένου, παρῆν ὁ Πέτρος σύν Ἰακώβῳ καί Ἰωάννη, ὡς μέλλοντες συνεῖναί σοι, καί ἐν τῷ καιρῷ τῆς παραδόσεώς σου· ἵνα θεωρήσαντες τά θαυμάσιά σου, μή δειλιάσωσι τά παθήματά σου· ἅ προσκυνῆσαι ἡμᾶς, ἐν εἰρήνῃ καταξίωσον, διά τό μέγα σου ἔλεος.

Πρό τοῦ Σταυροῦ σου Κύριε, παραλαβών τούς μαθητάς εἰς ὄρος ὑψηλόν, μετεμορφώθης ἔμπροσθεν αὐτῶν, ἀκτῖσι δυνάμεως καταυγάζων αὐτούς· ἔνθεν φιλανθρωπίᾳ, ἐκεῖθεν ἐξουσίᾳ, δεῖξαι βουλόμενος, τῆς Ἀναστάσεως τήν λαμπρότητα· ἧς καί ἡμᾶς ὁ Θεός, ἐν εἰρήνῃ καταξίωσον, ὡς ἐλεήμων καί φιλάνθρωπος.

Προσόμοια τοῦ Ὁσίου.

Ἦχος ὁ αὐτός. Ὡς γενναῖον ἐν Μάρτυσι.

Φερωνύμως τόν βίον σου, τῷ Θεῷ ἐκ νεότητος, Πάτερ Θεοδόσιε καθιέρωσας, καθάπερ δόσιν ἀκήρατον, λιπών τά ἐπίγεια,

οὐρανίῳ λογισμῷ, καί ζωήν τήν ἰσάγγελον πεπολίτευσαι· διά τοῦτο πλουσίως ἐδοξάσθης, καί περίβλεπτος ἐν πᾶσι, θαυμάτων ὤφθης δυνάμεσι.

Ὡς ἐξ ὕψους ἐπέστη σοι, Ἰωάννης ὁ Πρόδρομος, ἐπί πλεῖστον ἔρωτι θείῳ τέτρωσαι, καί τούτῳ οἶκον πανάγιον, δειμάμενος Ὅσιε, ἀρετῶν ὑπογραμμός, δι᾽ ἀσκήσεως πέφηνας, καί ὑπόδειγμα, Μοναστῶν προσελθόντων σοι προθύμως, καί τόν βίον σου ζηλούντων, θαυματουργέ Θεοδόσιε.

Ἀθηνῶν θεῖον βλάστημα, Ἀργολίδος ἀγλάϊσμα, καί θαυμάτων πέλαγος ἀνεξάντλητον, τῇ καθαρᾷ πολιτείᾳ σου, ἐδείχθης μακάριε, δωρεᾷ τῇ θεϊκῇ, καί παρέχεις τοῖς χρήζουσι τά ἰάματα, καί ἐξαίρεις κινδύνων πολυτρόπων, τούς καλοῦντάς σου τήν κλῆσιν, θαυματουργέ Θεοδόσιε.

Ὡς θεράποντα ἔνθεον, καί Χριστοῦ φίλον γνήσιον, Πέτρος ὁ μακάριος ὄψει κρείττονι, ἐπεγνωκώς σε ἐξίστατο, ἡνίκα κατεῖδέ σε, ἱματίῳ σου σοφέ, ἐπιφέροντα ἄνθρακας, καί ἐκήρυττε, πανταχοῦ τήν ἐξαίρετόν σου χάριν· μεθ᾽ οὗ πρέσβευε Κυρίῳ, ὑπέρ τῆς ποίμνης σου Ὅσιε.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον λαμπροφανής ἀνατέταλκεν, ἡ τοῦ Ὁσίου Θεοδοσίου μνήμη, ταῖς τῶν θαυμάτων αἴγλαις, τήν Ἐκκλησίαν λαμπρύνουσα· τοῦ γάρ ἀΰλου φωτός, τοῦ ἐν Θαβώρ ἀστράψαντος, τάς ἀπορίας δεξάμενος, πρός τό φῶς τῶν θείων ἐντολῶν, ἰθύνει τούς βοῶντας· χαίροις ὁ τῇ κλήσει προτυπώσας, τῆς ζωῆς τήν λαμπρότητα, καί βίῳ ἀγγελικῷ, τῶν θεοσδότων ἀξιωθείς δόσεων· χαίροις ὁ τοῖς πᾶσι παρέχων τάς ἰάσεις, καί ψυχῶν καί σωμάτων, τάς νόσους θεραπεύων· χαίροις τῶν Ἀθηνῶν περίδοξος βλαστός, καί Ναυπλίου καί Ἄργους ἕτοιμος βοηθός, καί

www.tezaurliturgic.ro

τῆς οἰκίας Μονῆς, προστάτης θερμότατος. Ὡς οὖν ἔχων παρρησίαν πρός Κύριον, ὑπέρ ἡμῶν ἀεί πρέσβευε, Πάτερ Ὅσιε.

Καί νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Προτυπῶν τήν Ἀνάστασιν τήν σήν, Χριστέ ὁ Θεός, τότε παραλαμβάνεις τούς τρεῖς σου Μαθητάς, Πέτρον, καί Ἰάκωβον καί Ἰωάννην, ἐν τῷ Θαβώρ ἀνελθών. Σοῦ δέ Σωτήρ μεταμορφουμένου, τό Θαβώριον ὄρος φωτί ἐσκέπετο. Οἱ Μαθηταί σου Λόγε, ἔρριψαν ἑαυτούς, ἐν τῷ ἐδάφει τῆς γῆς, μή φέροντες ὁρᾶν τήν ἀθέατον μορφήν. Ἄγγελοι διηκόνουν φόβῳ καί τρόμῳ, οὐρανοί ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπί γῆς τῆς δόξης τόν Κύριον.

Εἴσοδος, Φῶς Ἱλαρόν, καί τό Προκείμενον.

Ἦχος βαρύς.

Ὁ Θεός ἡμῶν ἐν τῷ οὐρανῷ καί ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Στίχ. *Ἐν ἐξόδῳ Ἰσραήλ ἐξ Αἰγύπτου.*

Στίχ. *Ἡ θάλασσα εἶδε καί ἔφυγε.*

Στίχ. *Τί σοι ἐστι θάλασσα, ὅτι ἔφυγες...*

Καί εὐθύς τά ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1)

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί

www.tezaurliturgic.ro



εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα

(Κεφ. ε΄ 15)

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καί ὡς ἀπό εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται· καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**

(Κεφ. δ΄ 7)

Δίκαιος, ἐάν φθάση τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξη σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήση ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ρεμβασμός ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες, καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον, ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ἐκτενής. Καταξίωσον. Πληρωτικά.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Στιχηρά Ἰδιόμελα
### Ἦχος α΄.

Ἀγάλλου ἐν Κυρίῳ, καί τέρπου πᾶσα ἡ Ἀργολίς, Θεοδόσιον τόν Ὅσιον, ὡς θησαυρόν πλουτοῦσα· ἐν σοί γάρ ἠγωνίσατο τό τῆς ἀσκήσεως στάδιον, καί πλουσίων δωρεῶν, παρά Θεοῦ μετέσχεν· ἀσθενοῦντας γάρ ἰᾶται, καί πιστῶς καλούμενος, πᾶσαν δόσιν ἀγαθήν, καί πᾶν δώρημα τέλειον, παρέχει τοῖς χρήζουσι· καί τόν θεῖον αὐτοῦ τάφον κυκλοῦσα, τῆς προϊούσης ἐξ αὐτοῦ, ἁγιαστικῆς χάριτος τρύφησον, τῷ Σωτῆρι βοῶσα. Κύριε, πρεσβείαις τοῦ Ὁσίου σου, δίδου τῷ λαῷ σου, τούς οἰκτιρμούς σου ὡς Εὔσπλαγχνος.

www.tezaurliturgic.ro


Ἦχος β΄.

Ἀπό παιδός ὅλον τόν πόθον, ἀνατείνας τῷ Χριστῷ, τῆς ἐν κόσμῳ εὐκλείας ἐμάκρυνας, ἐμφρόνως Θεοδόσιε· τό γάρ πῦρ τῆς θείας ἀγάπης, ὑπεριδεῖν σε ἔπεισε, τῶν γεηρῶν ὡς σφαλλομένων· καί πάντα δούς τοῖς πένησι, τόν πολύτιμον μαργαρίτην, σοφῶς ἐταμιεύσω, ἀσκητικήν ἑλόμενος ζωήν· τό τῆς σαρκός γάρ φρόνημα, νεκρώσας σύν τοῖς πάθεσι, τῆς ἀπαθείας λειμών εὐωδέστατος, τήν εὐωδίαν διαπνέων τοῦ Πνεύματος, ὤς ἀληθῶς ὡράθης. Χριστός γάρ σε Ὅσιε, λαμπρῶς ἐθαυμάστωσε.

Ἦχος γ΄.

Ὅλος μετάρσιος γενόμενος, ταῖς πρός τό κρεῖττον ἀναβάσεσι, τόν τῆς χάριτος Πρόδρομον, ἐν μυστικῇ ὁράσει τεθέασαι· καί λαμπρυνθείς τῇ καρδίᾳ, ναόν τούτῳ ἅγιον, ὡς τῆς Τριάδος ἐνδιαίτημα, ἐδείμω Θεοδόσιε, τήν Ἀργολίδα πᾶσαν, καταυγάζων ταῖς σαῖς πράξεσι· τοῦ γάρ βίου σου ἡ ἔλλαμψις, πανταχοῦ ἐξέδραμε, καί τῶν θαυμάτων σου ἡ χάρις, περιβόητόν σε πᾶσι κατέστησεν· ἔνθεν Μοναζόντων ὤφθης ὑποφήτης, καί εὐσεβῶν διδάσκαλος, καί τῶν ποικίλως πασχόντων, βοηθός συμπαθέστατος, πᾶσιν αἰτούμενος, παρά Χριστοῦ τό μέγα ἔλεος.

Ἦχος δ΄.

Ὡς ἐκ τῆς μελλούσης ζωῆς, καρποφορῶν τάς ἀξίας, πλήρης θείου φωτός ὡράθης, ὅλως τά τῆς ὕλης ἀπορρίψας, καί θεωθείς τῇ ἑνώσει τοῦ Πνεύματος· ὅθεν κατ᾽ ὄναρ ἐπιστάς, τῷ τῶν Ἀργείων ποιμένι, καί τῷ τῆς Βυζαντίδος προέδρῳ, ἦρας ἐξ αὐτῶν τάς ἐσφαλμένας ὑπολήψεις, Θεοδόσιε Μακάριε· καί ἔκθαμβος ἐγένετο, ὁ θεηγόρος Πέτρος, ἰδών σε ἄνθρακας ἡμμένους τῷ ἱματίῳ κρατοῦντα· ἔνθεν διαπρυσίῳ γλώσσῃ, ἄνθρωπον Θεοῦ, καί ἄγγελον ἐν σώματι, καί ὄργανον θεόπνευστον, ἐκή-

www.tezaurliturgic.ro



ρυξέ σε Πάτερ· μεθ᾿ οὗ τῆς ἄνω δόξης τρυφῶν, σύν αὐτῷ ἱκέτευε, ὑπέρ τῶν τιμώντων σε.

Δόξα. Ἦχος πλ. α΄.

Τῆς Ἀγγελικῆς σου ζωῆς, αἱ θεοειδεῖς ἀρεταί, καί τά λαμπρά κατορθώματα, ὡς φῶς πᾶσιν ἐκλάμπουσι, Θεοδόσιε Ὅσιε· ἀξίως γάρ τῆς κλήσεως, ἐπολιτεύσω ἐν κόσμῳ, καί Μοναστῶν ὑπόδειγμα, καί ἰαμάτων κρήνη, τοῖς ἐγγύς καί τοῖς μακράν, Πνεύματι θείῳ ὤφθης. Ὅθεν χαίρει Ἀργολίς, ἁγιασθεῖσα τῇ ἀσκήσει σου, καί τόν σεπτόν σου τάφον, ὡς ἁγιασμοῦ ταμεῖον κεκτημένη, τούτῳ προστρέχει μετά πίστεως, πανδήμως τελοῦσα τήν μνήμην σου. Ἀλλ᾿ ὦ Πάτερ θαυματουργέ, καί θεράπον Χριστοῦ θεόληπτε, πρέσβευε ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Νόμου καί Προφητῶν σε Χριστέ, ποιητήν καί πληρωτήν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ, Μωϋσῆς ὁ θεόπτης, καί Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης, καί ἄφλεκτος οὐρανοδρόμος, ἐπί τῆς Μεταμορφώσεώς σου· μεθ᾿ ὧν καί ἡμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σε εἰς τούς αἰῶνας.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

### Στιχηρά Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀθηνῶν ὁ βλαστός, Πελοποννήσου τό περίβλεπτον καύχημα, ἁπάσης τῆς Ἀργολίδος, ὁ φωτοφόρος πυρσός, καί λαμπτήρ ὁ μέγας ἐν τοῖς θαύ[illegible] Ναυπλίου ἐντρύφημα, καί τοῦ Ἄργους τό ἥδυσμα· τῶν ἰαμάτων, ἡ πηγή ἡ ἀκένωτος· θείων πράξεων ἡ λαμπρά ὑπ[illegible]ωσις· Ὅσιε Θεοδόσιε, Ὁσίων ἀγλάϊσμα, τῶν Μοναστῶν ὁδηγέτα· τό τῆς Μο-

www.tezaurliturgic.ro



νῆς σου προπύργιον. Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

*Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Χαίροις ὁ τῷ Σωτῆρι Χριστῷ, ἀκολουθήσας οὐρανίῳ φρονήματι, σκορπίσας τοῖς δεομένοις, τήν σήν οὐσίαν καλῶς, καί λιπών πατρίδα θείῳ ἔρωτι· ἐντεῦθεν ἰσάγγελον, πολιτείαν ἐβίωσας, καί τῶν θαυμάτων, τήν πλουσίαν ἐνέργειαν, τῇ τοῦ Πνεύματος, ὑπεδέξω λαμπρότητι· Ὅθεν βρύεις ἑκάστοτε, ἰάματα ἄφθονα, καί βοηθεῖς τοῖς ἐν πόνοις, καί ἐν κινδύνοις ὑπάρχουσι, Χριστόν ἱκετεύων, Θεοδόσιε σωθῆναι, τούς σέ γεραίροντας.

*Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.*

Χαίρει ἡ εὐαγής σου Μονή, τῶν σῶν καμάτων τό λαμπρόν στηλογράφημα, τῇ θείᾳ σου προστασίᾳ, καί συγκαλεῖται πιστῶς, Ἀργολίδα πᾶσαν Θεοδόσιε, τελέσαι τήν μνήμην σου, καί ὑμνῆσαι τούς πόνους σου, προβαλλομένη, τόν σεβάσμιον τάφον σου ὡς θησαύρισμα, τῆς τοῦ Πνεύματος χάριτος. Ταύτῃ οὖν δίδου Ὅσιε, πατήρ ὡς φιλόστοργος, ἀεί τήν σήν εὐλογίαν, πρός ἀρετῶν τήν ἐπίδοσιν, Χριστόν ἱκετεύων, τοῖς πιστοῖς παρασχεθῆναι, τό θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Τήν τῶν θαυμάτων δωρεάν, δι᾽ ἀρετῆς περιουσίαν, κομισάμενος Ὅσιε, βλυστάνεις ἀεί τά ἰάματα, τοῖς προσιοῦσι τῇ σκέπῃ σου· παραλύτους γάρ συσφίγγεις, ἀτακτοῦντας παιδεύεις, καί κατ᾽ ὄναρ καί ὕπαρ φαινόμενος, ἐξαίρεις πειρασμῶν καί ἀναγκῶν, τούς ἐπιβοωμένους τήν κλῆσίν σου. Ἀλλ᾽ ὦ θαυματουργέ Πάτερ Θεοδόσιε, ῥῦσαι καί ἡμᾶς, σωματικῶν καί

ψυχικῶν παθῶν, καί φύλαττε τήν ποίμνην σου, ἐκ πάσης περιστάσεως.

Καί νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Πέτρῳ καί Ἰωάννῃ καί Ἰακώβῳ, τοῖς προκρίτοις Μαθηταῖς σου Κύριε, σήμερον ὑπέδειξας, ἐν τῷ ὄρει τῷ Θαβώρ, τήν δόξαν τῆς θεϊκῆς σου μορφῆς· ἔβλεπον γάρ τά ἱμάτιά σου, ἀστράψαντα ὡς τό φῶς, καί τό πρόσωπόν σου ὑπέρ τόν ἥλιον, καί μή φέροντες ὁρᾶν, τό ἄστεκτον τῆς σῆς ἐλλάμψεως, εἰς γῆν κατέπιπτον, μηδόλως ἀτενίσαι ἰσχύοντες. Φωνῆς γάρ ἤκουον μαρτυρούσης, ἄνωθεν· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ὁ ἐλθών εἰς τόν κόσμον, σῶσαι τόν ἄνθρωπον.

Νῦν ἀπολύεις. Τό Τρισάγιον. Ὅτι σοῦ ἐστιν. Καί τά Ἀπολυτίκια.

Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ὡς κλῆμα γλυκύκαρπον, ἐξ Ἀθηνῶν ἐκφυείς, ἀσκήσει ἡγίασας, τῆς Ἀργολίδος τήν γῆν, σοφέ Θεοδόσιε· ὅθεν καί τῶν θαυμάτων, δεδεγμένος τήν χάριν, βρύεις ἀεί τοῖς πᾶσι, τά ἰάματα Πάτερ· Διό σε ὡς προστάτην θερμόν μακαρίζομεν.

Ἦχος πλ. α΄. Τόν Συνάναρχον Λόγον.

Ἀργολίδος ἐδείχθης δόξα καί καύχημα, Ἀθηναίων τό κλέος καί θεῖον βλάστημα, Θεοδόσιε Πατήρ ἡμῶν ὅσιε, τῶν ὁσίων καλλονή, καί ἰαμάτων ἡ πηγή, καί Πέτρου τοῦ Ἱεράρχου, συνόμιλος καί προστάτης τῶν αἰτουμένων ἱλασμόν καί μέγα ἔλεος.

Ἕτερον, ~~ὅμοιον~~. Ἦχος δ΄ "Ταχύ Προκατάλαβε"

Ὡς δόσιν θεόδεκτον, τήν καθαράν σου ζωήν, Θεῷ καθιέρωσας, τῷ ἰαμάτων πηγήν, τόν τάφον σου δείξαντι· σύ γάρ δι'

www.tezaurliturgic.ro



ἐγκρατείας, καθαρθεὶς τῶν προσύλων, ἔλαμψας ἐν τῷ κόσμῳ, δι᾽ ἀσκήσεως πόνων, παμμάκαρ Θεοδόσιε, Ὁσίων ὁμόσκηνε.

Καί τό τῆς Ἑορτῆς.
Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει, Χριστέ ὁ Θεός, δείξας τοῖς μαθηταῖς σου τήν δόξαν σου, καθώς ἠδύναντο. Λάμψον καί ἡμῖν τοῖς ἁμαρτωλοῖς τό φῶς σου τό ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, Φωτοδότα δόξα σοι.

Ἀπόλυσις.



# ЄΙϹ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρός, δι᾽ ἀσκήσεως πόνων, ἐξέλαμψας σοφέ, ἐπί τῆς Ἀργολίδος. Διό σε Θεοδόσιε, ἐπαξίως γεραίρομεν, ἑορτάζοντες, τήν φωτοφόρον σου μνήμην, ἵνα λάβωμεν, ταῖς ἱκεσίαις σου Πάτερ, πταισμάτων συγχώρησιν.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ἐν ὄρει τῷ Θαβώρ, ἀπορρήτως ἐκλάμψας, ὑπέδειξας Χριστέ, τοῖς σεπτοῖς Μαθηταῖς σου, τήν δόξαν σου τήν ἄφραστον, καί ἰσχύν τήν ἀήττητον· ἀλλά πρόσδεξαι, ὡς συμπαθής καί οἰκτίρμων τόν μεθέορτον, ὕμνον ἡμῶν καί παράσχου, ἡμῖν φῶς οὐράνιον.

Μετά τήν β΄ Στιχολογίαν. Κάθισμα.
Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ὁ Πέτρος ὡς ἔβλεψεν, ὁ τῶν Ἀργείων ποιμήν, τόν πλοῦτον τῆς χάριτος, τῆς ἐνοικούσης ἐν σοί, σοφέ Θεοδόσιε, κῆρυξ τῶν ἀρετῶν σου, καί οἰκεῖός σοι ὤφθη, δόξαν Χριστοῦ προσφέρων, τῷ χαρίσμασι θείοις, δοξάσαντί σε Πάτερ, ὡς θεῖον θεράποντα.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ὡς εἶδον τήν δόξαν σου, οἱ Μαθηταί σου οἱ τρεῖς, ἀρρήτως ἀστράψασαν, ἐν Θαβωρίῳ Χριστέ, πρηνεῖς εἰς γῆν ἔπιπτον· ἄνωθεν ὁ Πατήρ γάρ ἐμαρτύρει Υἱόν σε, εἶναι ἠγαπημένον.

www.tezaurliturgic.ro



σαρκωθέντα ἀτρέπτως· διό σου τήν ἀπόρρητον, δοξάζομεν κένωσιν.

Μετά τόν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τόν Χριστόν ἀγαπήσας ὁλοσχερῶς, ἐμακρύνθης ἐμφρόνως τῶν γηγενῶν, καί βίον ἀσώματον, μετά σώματος ἤνυσας, τοῦ Βαπτιστοῦ τοῖς ἴχνεσι, καλῶς ἑφεπόμενος καί τοῦτον ἠξιώθης, ἰδεῖν ὄψει κρείττονι· ὅθεν καί θαυμάτων, δοξασθείς χορηγίᾳ, πηγάζεις ἰάματα, καί ἰᾶσαι τούς πάσχοντας, Θεοδόσιε Ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ἐν τῷ ὄρει ἀνῆλθες ὡς ἀγαθός, τῷ Θαβώρ σύν τοῖς θείοις σου Μαθηταῖς, καί τούτων ἐνώπιον, ὑπέρ ἥλιον ἔλαμψας, τήν κεκρυμμένην τούτοις, ἐκφαίνων Θεότητα, ὥσπερ ἐχώρουν Σῶτερ, ἰδεῖν σου τήν ἔλλαμψιν· ὧν ταῖς ἱκεσίαις, τῶν παθῶν ἡμῶν λῦσον τόν ζόφον φιλάνθρωπε, καί φωτί τοῦ προσώπου σου, τάς ψυχάς ἡμῶν λάμπρυνον, ὡς ἄν ἐν μετανοίᾳ θερμῇ, τάς εἰσόδους τῆς ζωῆς βαδίσωμεν, καί εἰσέλθωμεν Λόγε, εἰς τόπον τῆς δόξης σου.

Εἶτα τό α΄ ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.*

Πᾶσα πνοή. Τό Εὐαγγέλιον (ὁσιακόν).

Ὁ Ν΄ (50ός) Ψαλμός· μεθ' ὅν.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καί νῦν. Ταῖς τῆς Θεοτόκου.

www.tezaurliturgic.ro



Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου.

Σήμερον ὁ Θεοφόρος Θεοδόσιος τόν τῆς ἀσκήσεως περάνας δρόμον, τήν πρός οὐρανόν πορείαν ἐποιήσατο, τῆς ἀρετῆς τά ἔπαθλα, παρά Χριστοῦ λαμβανόμενος· διό Ἀργεῖοι καί Ναυπλιεῖς, τήν μακαρίαν αὐτοῦ μετάστασιν γεραίρουσι, καί ἡ σεπτή αὐτοῦ ποίμνη, ἐν κατανύξει βοᾷ. Μή ἐπιλάθη ἡμῶν τῶν σῶν τέκνων, Πάτερ ἁγιώτατε, ἀλλά δίδου ἡμῖν ἀεί, τῆς προστασίας σου τάς χάριτας.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεός τόν λαόν σου.

Εἶτα οἱ Κανόνες, τῆς Ἑορτῆς καί τοῦ Ἁγίου.

Κανών τῆς Ἑορτῆς, οὗ ἡ ἀκροστιχίς·

«Χριστός ἐνί σκοπιῇ σέλας ἄπλετον εἴδεος ἧκε. Κοσμᾶ».

Ὠδή α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

Χοροί Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον ἐρυθρόν καί ὑγρόν βυθόν διελάσαντες, ἀναβάτας τριστάτας, δυσμενεῖς ὁρῶντες, ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ῥήματα ζωῆς, τοῖς φίλοις Χριστός, καί περί τῆς θείας δημιουργῶν Βασιλείας ἔφη. Ἐν ἐμοί τόν Πατέρα ἐπιγνώσεσθε, φωτί ὡς ἐξαστράπτω ἀπροσίτῳ, ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ἰσχύν τῶν ἐθνῶν, κατέδεσθε φίλοι Μαθηταί, θαυμασθήσεσθε δέ τῷ πλούτῳ αὐτῶν, ὅτι δόξης πληροῦσθε, ὡς ὀφθήσομαι, λαμπρότερος ἡλίου ἐξαστράπτων, ἐν ἀγαλλιάσει μέλποντες· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Σήμερον Χριστός, ἐν ὄρει Θαβώρ, λάμψας ἀμυδρῶς, θεϊκῆς αἴγλης ὡς ὑπέσχετο, Μαθηταῖς παρεγύμνου χαρακτῆρα· σελασφόρου δέ πλησθέντες, θείας αἴγλης, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄσωμεν τῷ Θεῷ, ὅτι δεδόξασται.

Κανών τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·
«Θεοδοσίῳ ὕμνον εἰσφέρω Θείῳ· Γερασίμου».

Ἦχος ὁ αὐτός. Ἀνοίξω τό στόμα μου.

Θεράπων θερμότατος, ὤν τοῦ Θεοῦ Θεοδόσιε, δοθῆναί μοι πρέσβευε λόγον τοῖς χείλεσιν, ἵνα μέλψω σου, τόν βίον Θεοφόρε, καί τῶν θαυμασίων σου, χάριν τήν ἄφθονον.

Ἐκ πόλεως ἤνθησας, τῶν Ἀθηναίων μακάριε, ὡς ἄνθος πανεύοσμον, ἐν Ἀργολίδι δέ, τῆς ἀσκήσεως, ὀσμήν τήν οὐρανίαν διέπνευσας Ὅσιε, βιώσας ἄριστα.

Ὁ βίος σου Ὅσιε, ὡς ὁλοκάρπωμα τέλειον, καί δόσις θεόδεκτος, Κυρίῳ δέδοται· ὁλοτρόπως γάρ, αὐτῷ καθιερώθης, καί σκεῦος ἐπάξιον ὤφθης τῆς χάριτος.

Θεοτοκίον.

Δυνάμωσον Ἄχραντε, τό ἀσθενές τῆς καρδίας μου, καί πόρρω ἀπέλασον, τόν κύκλῳ Δέσποινα, πολεμοῦντά με, νυκτί τε καί ἡμέρᾳ, ἐννοίαις ταῖς χείροσιν, ἐχθρόν τόν βέβηλον.

Καταβασία.

Σταυρόν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τήν Ἐρυθράν διέτεμε, τῷ Ἰσραήλ πεζεύσαντι· τήν δέ ἐπιστρεπτικῶς, Φαραώ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τό ἀήττητον ὅπλον. Διό Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

www.tezaurliturgic.ro



Ὠδή γ΄. Ὁ Εἱρμός.

**Τ**όξον δυνατῶν ἠσθένησε, καί οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν· διά τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

**Ο**λον τόν Ἀδάμ φορέσας Χριστέ, τήν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας πάλαι φύσιν, καί ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας.

**Σ**τύλῳ πυριμόρφῳ καί νεφέλῃ πάλαι, ὁ ἐν τῇ ἐρήμῳ τόν Ἰσραήλ ἄγων σήμερον, ἐν τῷ ὄρει Θαβώρ ἀρρήτως, ἐν φωτί Χριστός ἐξέλαμψε.

Τοῦ Ὁσίου. Τούς σούς ὑμνολόγους.

**Ο** νοῦς σου τρωθείς ἀγάπῃ θείᾳ, ἀπέστη τελείως τῶν φθαρτῶν· ἐντεῦθεν διεσκόρπισας, τήν ὕπαρξίν σου ἅπασαν, τοῖς δεομένοις Ὅσιε, Χριστοῦ τοῖς λόγοις ἑπόμενος.

**Σ**αρκός σου μισήσας τάς ὀρέξεις, ὑπέσχες ζυγῷ τῷ τοῦ Χριστοῦ, τόν σόν αὐχένα Ὅσιε, καί σεαυτόν ὑπέταξας, τῷ Θεοφόρῳ Γέροντι, ἀσκητικῶς γυμναζόμενος.

**Ι**σχύν ἐνδυσάμενος τήν θείαν, ἡσύχως τόν βίον διελθεῖν, νηστείαις καί δεήσεσι, καί προσευχαῖς ἐπόθησας, καί νῷ τελείῳ Ὅσιε, προσομιλεῖν τῷ Παντάνακτι.

Θεοτοκίον.

**Ω**ς κλῖμαξ τῷ πάλαι Πατριάρχῃ, ὡράθης ἐκ γῆς πρός οὐρανόν, διήκουσα Πανάμωμε· Θεός γάρ ἐκ σοῦ ἄνθρωπος, ἐγένετο καί ὕψωσε πρός οὐρανούς τούς ὑμνοῦντάς σε.

Καταβασία.

**Ρ**άβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ

www.tezaurliturgic.ro



γάρ προκρίνει τόν ἱερέα. Τῇ στειρευούσῃ δέ πρώην Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καί στερέωμα.

Κάθισμα. Ἦχος γ΄. Τήν ὡραιότητα.

Τῆς σῆς ἀσκήσεως, τά κατορθώματα, ὡς δόμα ἅγιον, Χριστός δεξάμενος, τῇ τῶν θαυμάτων δωρεᾷ, ἐδόξασε τήν ζωήν σου· πᾶσι γάρ ἰάματα, ἀναβλύζεις σωτήρια, καί σπεύδεις ἑκάστοτε, εἰς βοήθειαν Ὅσιε, τῶν πίστει Θεοδόσιε Πάτερ, τήν σήν αἰτούντων προστασίαν.

Τῆς Ἑορτῆς, ὅμοιον.

Μεταμορφούμενος, ἐν ὄρει Δέσποτα, Θαβώρ ἐξέστησας, τῇ σῇ λαμπρότητι, καί ἀστραπῇ τῆς σῆς μορφῆς Οἰκτίρμον τούς Μαθητάς σου. Τούτων οὖν δεήσεσι, καί ἡμεῖς μετασχοίημεν, τοῦ Φωτός Φιλάνθρωπε, τοῦ ἀχράντου προσώπου σου· τῇ σῇ ἀγαθότητι Σῶτερ, ἀεί προσπίπτομεν οἱ δοῦλοι σου.

Ὠδή δ΄. Ὁ Εἱρμός.

Εἰσακήκοα τήν ἔνδοξον οἰκονομίαν σου, Χριστέ ὁ Θεός, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τούς βοῶντάς σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

Νόμον ἐν Σινᾶ τῷ γράμματι, διατυπούμενος Χριστέ ὁ Θεός ἐν τῇ νεφέλῃ πυρί καί γνόφῳ, καί ἐν θυέλλῃ ὤφθης ἐποχούμενος. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἵνα πιστώσῃ τήν ἔνδοξον, οἰκονομίαν σου, Χριστέ ὁ Θεός, ὡς προϋπάρχων πρό τῶν αἰώνων, καί ὁ αὐτός ἐν νέφει τήν ἐπίβασιν θείς, ἐν τῷ Θαβώρ ἀρρήτως ἐξέλαμψας.

Συλλαλοῦντες παρειστήκεισαν δουλοπρεπῶς σοί τῷ Δεσπότῃ Χριστῷ, οἷς ἐν πυρός ἀτμίδι καί γνόφῳ, καί λεπτοτάτῃ αὔρᾳ προσωμίλησας. Δόξα τῇ δυνάμει σου Κύριε.

www.tezaurliturgic.ro



Κατεμήνυον τήν ἔξοδον, τήν ἐν Σταυρῷ σου, ἐν Θαβώρ παρόντες, ὁ ἐν πυρί σε καί βάτῳ πάλαι, προκατιδών Μωσῆς, καί ὁ μετάρσιος δίφρῳ, ἐν πυρίνῳ Ἠλίας Χριστέ.

Τοῦ Ὁσίου. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑπερόπτης τῶν γηΐνων, οὐρανίῳ φρονήματι, ὤφθης Θεοφόρε, πάσης μακρυνόμενος σχέσεως, καί ὥσπερ ἄγγελον ἄλλον μετά σώματος, Θεοδόσιε, ἡ Ἀργολίς σέ ἐδέξατο.

Μέγας ὤφθης ἐν ἀσκήσει, Θεοδόσιε Ὅσιε, ἐν τῇ Ἀργολίδι, ὡς ἐν ταύτῃ Πάτερ ἐσκήνωσας, καί ἐνεργείαις θαυμάτων καί δυνάμεσι, πᾶσι γέγονας, περιφανής καί ἐξάκουστος.

Νοερῶς σοι ἐπεφάνη, Ἰωάννης ὁ Πρόδρομος, οὗ τῇ ὄψει Πάτερ, πλείῳ ἐξεκαύθης τοῖς κρείττοσι, καί ναόν τούτῳ ἐγείρας ἱερώτατον, φροντιστήριον, ψυχῶν κατέστησας ἅγιον.

Θεοτοκίον.

Ὄρος μέγα καθωράθης, καί δασύ καί κατάσκιον, τοῖς σεπτοῖς Προφήταις, καταλαμπομένη ταῖς χάρισιν· ἐκ σοῦ Θεός γάρ ὡράθη σωματούμενος, καί διέσωσε, Θεογεννῆτορ τόν ἄνθρωπον.

Καταβασία.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τό μυστήριον, κατενόησα τά ἔργα σου, καί ἐδόξασά σου τήν Θεότητα.

Ὠδή ε΄. Ὁ Εἱρμός.

Ὁ τοῦ φωτός διατμήξας, τό πρωτόγονον χάος, ὡς ἐν φωτί τά ἔργα ὑμνῇ σε Χριστέ, τόν Δημιουργόν, ἐν τῷ φωτί σου, τάς ὁδούς ἡμῶν εὔθυνον.

www.tezaurliturgic.ro



Προσενωπίῳ σοι ὥραι ὑπεκλίθησαν· φῶς γάρ καί πρό ποδῶν, ὑψίδρομον σέλας Χριστέ, ἥλιος ἧκε, μορφήν βροτείαν, ὡς ἀμεῖψαι ηὐδόκησας.

Ἰδού Σωτήρ ἀνεβόων, Μωϋσῆς καί Ἠλίας τῶν Μαθητῶν, ἐν ὄρει ἁγίῳ Θαβώρ ἐνηχουμένων, Χριστός ὅν πάλαι, προηγγείλαμεν ὄντα Θεόν.

Ἡ ἀναλλοίωτος φύσις, τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς ἀΰλου θεότητος, φῶς παραγυμνοῦσα τοῖς Ἀποστόλοις, ἀπορρήτως ἐξέλαμψε.

Σέ τό ἀΐδιον φέγγος, ἐν Πατρῴᾳ τῇ δόξῃ, οἱ Μαθηταί, ὡς εἶδον ἐκλάμψαν Χριστέ, σοί ἀνεβόων· Ἐν τῷ φωτί σου τάς ὁδούς ἡμῶν εὔθυνον.

Τοῦ Ὁσίου. Ἐξέστη τά σύμπαντα.

Νυκτί σε ὡς ἔβλεψεν, ὁ Πέτρος Θεοδόσιε, ὁ ποιμήν τοῦ Ἄργους ἐπιστώθη, ἐγκαταλεῖψαι βουλήν τήν ἄδικον, ἥν αὐτῷ ὑπέθεντο κακῶς, κατά σοῦ κινούμενοι, οἱ μισοῦντες τό δίκαιον.

Ἐξέστη ὁ πρόεδρος, τοῦ Βυζαντίου Ἅγιε, σέ ἰδών καθ᾽ ὕπνους παραδόξως, μαθών τίς εἶ δέ ὦ Θεοδόσιε, φίλον σε Θεοῦ θεοειδῆ, ἀληθῶς ἐκήρυττε, μετά Πέτρου τοῦ Μάκαρος.

Ἰδών θυμιῶντά σε, ὁ Πέτρος ὁ θεόληπτος, καί μή συμφλεγόμενον δι᾽ ὅλου, τῷ ἱματίῳ ἡμμένους ἄνθρακας, φέροντα δυνάμει θεϊκῇ, πανταχοῦ ἐκήρυξε, τήν τοῦ βίου σου ἔλλαμψιν.

Θεοτοκίον.

Σωτῆρα ἐκύησας, τῆς τῶν ἀνθρώπων φύσεως, ἐν μορφῇ ἁγνή τῇ ἡμετέρᾳ, τόν πρό αἰώνων Θεόν καί Κύριον, ὅν δυσώπει

www.tezaurliturgic.ro



Πατρῴα, ἐξαστράψαντα δόξῃ ἀνέμελπον. Εὐλογεῖτε πάντα τά ἔργα Κυρίου τόν Κύριον.

Διά τῆς ἐν γνόφῳ θείας ὀμφῆς, τό πρόσωπον ποτέ, ἐδοξάσθη Μωσῆς· Χριστός δέ ὡς ἱμάτιον, φῶς καί δόξαν ἀναβάλλεται· φωτός αὐτουργός γάρ πεφυκώς, καταυγάζει τούς μέλποντας. Εὐλογεῖτε πάντα τά ἔργα Κυρίου τόν Κύριον.

Ἐκ φωτογενοῦς νεφέλης, Χριστόν οἱ Μαθηταί ἀμπεχόμενον, ὁρῶντες ἐν Θαβώρ, καί πρηνεῖς ἐπί γῆς κατανεύσαντες, τόν νοῦν ἐλλαμφθέντες, σύν Πατρί τοῦτον ὕμνουν καί Πνεύματι. Εὐλογεῖτε πάντα τά ἔργα Κυρίου τόν Κύριον.

Τοῦ Ὁσίου. Παῖδας εὐαγεῖς.

Γνώσει λαμπρυνθείς Πάτερ τῇ θείᾳ, καθάρας τήν τῆς καρδίας σου κατάστασιν, μοναστῶν διδάσκαλος, ὤφθης καί ἀρχέτυπον, ἰθύνων Θεοδόσιε πρός βίον κρείττονα, τούς σοί προσερχομένους προθύμως, οὕς καί σεσωσμένους, προσήγαγες Κυρίῳ.

Ἔδραμεν ἡ χάρις τῶν θαυμάτων, τῶν θείων σου πανταχοῦ ὦ Θεοδόσιε, πάντων ἑτοιμότατος, ἰατήρ γάρ πέφηνας, ἰώμενος τούς πάσχοντας πικροῖς νοσήμασι, καί σώζων ἐκ παντοίων κινδύνων, τούς ἐπιβοῶντας, τήν ἱεράν σου κλῆσιν.

Ῥάβδῳ ποιμανσίας σου ἁγίας, καί νῦν ἀορ[illegible] Πάτερ ποίμανον, τήν ἁγίαν Μάνδραν σου, τό μικρόν σο[illegible]μνιον, ὅπερ ἡ θεία χάρις ὧδε συνήγαγεν, ἐν τούτῳ τῷ ἁγί[illegible]υ τόπῳ, ἔνθα τούς ἀγῶνας, διήνυσας ὁσίως.

Θεοτοκίον.

Ἄρρητος ὁ τόκος σου ὑπάρχει, Θεόν γάρ δι᾿ ἀγαθότητα ἐκύησας, ἄνθρωπον γενόμενον, ὑπέρ νοῦν καί ἔννοιαν, διό ὡς σω-

τηρίας σε αἰτίαν μέλπομεν, βοῶντές σοι τό χαῖρε Παρθένε, χαῖρε Θεοτόκε, τοῦ κόσμου προστασία.

Καταβασία.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργόν Πατέρα Θεόν ὑμνεῖτε, τόν συγκαταβάντα Λόγον, καί τό πῦρ εἰς δρόσον μεταποιήσαντα, καί ὑπερυψοῦτε τό πᾶσι ζωήν παρέχον, Πνεῦμα Πανάγιον εἰς τούς αἰῶνας.

Ὠδή θ΄. Ὁ Εἱρμός.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη· Θεός ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὤς ὤφθη ἐπί γῆς, καί τοῖς ἀνθρώποις συνανεστράφη· σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν.

Σύντρομοι καινῇ φωτοχυσίᾳ, ἀθρόως οἱ Μαθηταί ἐλλαμφθέντες, πρός ἀλλήλους ἑώρων, καί πρηνεῖς εἰς γῆν καταπεσόντες, σοί τῷ Δεσπότῃ, τῶν ἁπάντων προσεκύνησαν.

Ἦχος ἐκ νεφέλης ἀνεπέμπετο, θεόκτυπος βεβαιῶν τό θαῦμα· Ὁ Πατήρ γάρ τῶν φώτων, Οὗτός ἐστιν Υἱός ὁ ἀγαπητός μου, τοῖς Ἀποστόλοις ἀνεβόα, οὗ ἀκούετε.

Καινά κατιδόντες καί παράδοξα, φωνῆς πατρικῆς ἐνωτισθέντες, ἐν Θαβώρ οἱ τοῦ Λόγου ὑπηρέται, ἐκμαγεῖον τοῦ ἀρχετύπου, Οὗτος ὑπάρχει, ἀνεβόων ὁ Σωτήρ ἡμῶν.

Εἰκών ἀπαράλλακτε τοῦ Ὄντος, ἀκίνητε σφραγίς ἀναλλοίωτε, Υἱέ Λόγε, σοφία καί βραχίων, δεξιά Ὑψίστου σθένος, σέ ἀνυμνοῦμεν, σύν Πατρί τε καί τῷ Πνεύματι.

Τοῦ Ὁσίου. [illegible] γηγενής.

Σοῦ τήν ἱεράν, προεῖδες μετάστασιν, Ἁγίῳ Πνεύματι, καί ταύτην προήγγειλας τοῖς φοιτηταῖς σου πενθοῦσιν Ὅσιε, καί

www.tezaurliturgic.ro



χαίρων μεταβέβηκας πρός τά οὐράνια, τῶν σῶν πόνων, ἀμοιβάς δεχόμενος, ἐκ Θεοῦ δαψιλῶς Θεοδόσιε.

Ἴθυνας τήν σήν, ζωήν ἐκ νεότητος, Θεῷ μακάριε, καί Ἁγίου Πνεύματος, δοχεῖον ὤφθης Πάτερ πολύτιμον, ἔνθεν τό θεῖον σκῆνός σου πιστῶς ἐκήδευσεν, ὁ Θεόφρων, Πέτρος Θεοδόσιε, σύν παντί τῷ λαῷ τῷ θεόφρονι.

Μέγας ἀρωγός, Ναυπλίου γενόμενος, καί Ἄργους Ἅγιε, πᾶσαν τήν περίοικον, καθαγιάζεις ἐπιστασίαν σου, καί τήν Μονήν σου Ὅσιε, σκέπεις ἑκάστοτε, ἐπηρείας, πάσης τοῦ ἀλάστορος, ἀφορῶσαν ἀεί πρός τήν σκέπην σου.

Ὁ θεοειδής, θεράπων τοῦ Κτίσαντος, καί θεοδόξαστος, Πάτερ Θεοδόσιε, καθάπερ δῶρον δέξαι εὐπρόσδεκτον, τόν ὕμνον τοῦτον Ἅγιε ὅν σοι ἐξύφανα, καί πταισμάτων δίδου μοι τήν ἄφεσιν, ταῖς θερμαῖς πρός Θεόν ἱκεσίαις σου.

Θεοτοκίον.

Ὕψιστον Θεόν, τεκοῦσα ἐν σώματι, ὑπέρ κατάληψιν, Κόρη Παντευλόγητε, τόν πεπτωκότα Ἀδάμ ἀνύψωσας, πρός δόξαν ἐξ ἧς πέπτωκε, διό ἀνύψωσον, ἐκ βυθοῦ με, ἁμαρτίας δέομαι, πρός γνησίαν μετάνοιαν Ἄχραντε.

Καταβασία.

Μυστικός εἶ Θεοτόκε παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾿ οὗ τό τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Δι᾿ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν σέ μεγαλύνομεν.

Ἑτέρα.

Ὁ διά βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διά Σταυροῦ κατήργηται σήμερον· τῆς γάρ Προμήτορος ἡ παγ-

www.tezaurliturgic.ro



γενῆς κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς Ἁγνῆς Θεομήτορος, ἣν πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.

Ἐξαποστειλάριον.

Ἦχος γ΄. Φῶς ἀναλλοίωτον Λόγε.

Φῶς δεδεγμένος τό θεῖον, ἐν τῇ ψυχῇ σου θεόφρον, φῶς ἀρετῶν διαυγάζεις, τῇ ἰσαγγέλῳ ζωῇ σου, ὦ Θεοδόσιε Πάτερ, καί νῦν ἐκλάμπεις, ἐν τῷ φωτί τοῦ Κυρίου.

Καί τό τῆς Ἑορτῆς.

Φῶς ἀναλλοίωτον Λόγε, φωτός Πατρός ἀγεννήτου, ἐν τῷ φανέντι φωτί σου, σήμερον ἐν Θαβωρίῳ, φῶς εἴδομεν τόν Πατέρα, φῶς καί τό Πνεῦμα, φωταγωγοῦν πᾶσαν κτίσιν.

✻ ✻ ✻

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἵστῶμεν στίχους δ΄, καί ψάλλομεν τά ἑξῆς Στιχηρά Προσόμοια:

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ σοφέ Θεοδόσιε, ὁ ἐν τῷ ὄρει Θαβώρ, ὑπέρ ἥλιον Κύριος, ἀπαστράψας ηὔγασε, τῇ ἀπλάστῳ καρδίᾳ σου, ἀγάπης θείας ἀκτῖνα πάμφωτον, ζόφον ἀπάτης κόσμου ἐλαύνουσαν. Ὅθεν τοῖς ἴχνεσι, τούτου ἠκολούθησας, ἀγγελικόν, βίον προελόμενος, θερμῷ σου [illegible].

Πάτερ σοφέ Θεοδόσιε, οἷα περ δόσιν σεπτήν, καί ἁγίαν προσήγαγες, φερωνύμως Ὅσιε, τῷ Θεῷ τούς ἀγῶνας σου. Ὅθεν ἐπλήσθης θείας ἐλλάμψεως, καί τῶν θαυμάτων ὤφθης θησαυ-

ρισμα, βρύων ἰάματα, τοῖς πιστῶς προστρέχουσι, τῇ ἱερᾷ σκέπῃ σου ἑκάστοτε, ὡς συμπαθέστατος.

Πάτερ σοφέ Θεοδόσιε, ὡς ἑωσφόρον λαμπρόν, δαδουχοῦντα τά κρείττονα, Ἀργολίς σε εὕρατο, καί γεραίρει τήν μνήμην σου, καί ἐξαιρέτως Ναυπλίου κάτοικοι, καί οἱ Ἀργεῖοι ἐν σοί ἀγάλλονται. Τούτοις παρέχεις γάρ, καί εἰς τήν περίοικον, πᾶσαν ἀεί, τῆς σῆς ἀντιλήψεως, θεῖα δωρήματα.

Πάτερ σοφέ Θεοδόσιε, τήν σήν ἁγίαν Μονήν, τήν κηρύττουσαν Ἅγιε, τά τῆς σῆς ἀσκήσεως, εὐκλεῆ κατορθώματα, σκέπε καί φρούρει τῇ προστασίᾳ σου, τῷ σῷ παντίμῳ τάφῳ προσπίπτουσαν, καί τήν φωσφόρον σου, μνήμην ἑορτάζουσαν, στέφων αὐτήν, θείαις εὐλογίαις σου, ποιμήν ὡς ἄριστος.

Δόξα. Ἦχος πλ. δ΄.

Ἀσκητικοῖς παλαίσμασιν, ὑπέρ ἥλιον ἔλαμψας, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, Θεοδόσιε Πάτερ Ὅσιε, καί ταύτην κατεφαίδρυνας, ἀρετῶν σου τῷ κάλλει, καί τῶν θαυμάτων δυνάμει, ἐν τῇ ἀφθόνῳ δωρεᾷ τῆς θείας χρηστότητος. Δι᾽ αὐτῶν γάρ ἐμφαίνεις, τήν κεκρυμμένην δόξαν τῆς ἀϊδίου ζωῆς, ἧς εἰκών καί τύπος, ἡ λαμπρότης τοῦ βίου σου. Διό τήν πάμφωτον μνήμην σου, ἑορτάζοντες βοῶμέν σοι. Τῇ παναγίᾳ Τριάδι πρέσβευε, διά παντός θαυματουργέ, ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Παρέλαβεν ὁ Χριστός τόν Πέτρον καί Ἰάκωβον καί Ἰωάννην, εἰς ὄρος ὑψηλόν κατ᾽ ἰδίαν, καί μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καί ἔλαμψε τό πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τά δέ ἱμάτια αὐτοῦ, ἐγένετο λευκά ὡς τό φῶς. Καί ὤφθησαν Μωϋσῆς καί Ἠλίας, μετ᾽ αὐτοῦ συλλαλοῦντες· καί νεφέλη φωτεινή, ἐπεσκίασεν αὐτούς· καί ἰδού φωνή ἐκ τῆς νεφέλης λέγουσα.

www.tezaurliturgic.ro



Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε.

Δοξολογία μεγάλη καί ἀπόλυσις

* * *

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Τυπικά, οἱ Μακαρισμοί, καί ἐκ τῶν κανόνων, τῆς μέν Ἑορτῆς ἡ γ´ ᾠδή, τοῦ δέ Ὁσίου ἡ στ´.

Ἀπόστολος.

Προκείμενον. Ἦχος βαρύς.

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Στίχ. *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περί πάντων;*

Πρός Ἑβραίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα.

(Κεφ. ιγ´, 17-21)

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καί ὑπείκετε· αὐτοί γάρ ἀγρυπνοῦσιν ὑπερ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετά χαρᾶς τοῦτο ποιῶσι, καί μή στενάζοντες· ἀλυσιτελές γάρ ὑμῖν τοῦτο. Προσεύχεσθε περί ἡμῶν· πεποίθαμεν γάρ, ὅτι καλήν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι· περισσοτέρως δέ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δέ Θεός τῆς εἰρήνης, ὁ ἀναγαγών ἐκ νεκρῶν τόν ποιμένα τῶν προβάτων τόν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τόν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντί ἔργῳ ἀγαθῷ, εἰς τό ποιῆσαι τό θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τό εὐάρεστον ἐνώπιον αὐτοῦ, διά Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα. Ἦχος πλ. β´.

*Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.*

Στίχ. *Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα.*

www.tezaurliturgic.ro



Εὐαγγέλιον.
(τοῦ Ἁγίου Ἀντωνίου, ζήτει τῇ ιζ΄ Ἰανουαρίου).

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

## Μεγαλυνάρια.

Χαίροις Θεοδόσιε ἱερέ, Ἀθηνῶν τό κλέος, Ἀργολίδος λαμπρός φωστήρ. Χαίροις ὁ πηγάζων, ἰάματα ποικίλα, τοῖς πίστει προσιοῦσι, τῷ θείῳ τάφῳ σου.

Φρούρει Θεοδόσιε ἱερέ, τῇ σῇ προστασίᾳ, τήν Μονήν σου τήν εὐαγῆ, ἐξ αὐτῆς διώκων, τάς συστροφάς σκανδάλων, καί νέμων ἀεί ταύτῃ, τήν εὐλογίαν σου.

## Δίστιχον.

Δίδου Θεοδόσιε τάς θείας δόσεις
Γερασίμῳ πλέξαντι τούς δέ σοι ὕμνοις.